τῶν, καὶ οἱ Λευῖται ἐπὶ τὰς φυλακὰς αὐτῶν τοῦ αἰνεῖν καὶ λειτουρ-
γεῖν κατέναντι τῶν ἱερέων κατὰ τὸν λόγον ἡμέρας ἐν τῇ ἡμέρᾳ,
καὶ οἱ πυλωροὶ κατὰ τὰς διαιρέσεις αὐτῶν εἰς πύλην καὶ πύλην,
15 ὅτι οὕτως ἐντολαὶ Δαυιδ ἀνθρώπου τοῦ θεοῦ· [15]οὐ παρῆλθον τὰς
ἐντολὰς τοῦ βασιλέως περὶ τῶν ἱερέων καὶ τῶν Λευιτῶν εἰς πάν-
16 τα λόγον καὶ εἰς τοὺς θησαυρούς. [16]καὶ ἡτοιμάσθη πᾶσα ἡ ἐργα-
σία ἀφ' ἧς ἡμέρας ἐθεμελιώθη ἕως οὗ ἐτελείωσεν Σαλωμων τὸν
οἶκον κυρίου.
17 [17]Τότε ᾤχετο Σαλωμων εἰς Γασιωνγαβερ καὶ εἰς τὴν Αιλαθ τὴν
18 παραθαλασσίαν ἐν γῇ Ιδουμαίᾳ. [18]καὶ ἀπέστειλεν Χιραμ ἐν χειρὶ
παίδων αὐτοῦ πλοῖα καὶ παῖδας εἰδότας θάλασσαν, καὶ ᾤχοντο μετὰ
τῶν παίδων Σαλωμων εἰς Σωφιρα καὶ ἔλαβον ἐκεῖθεν τετρακόσια
καὶ πεντήκοντα τάλαντα χρυσίου καὶ ἦλθον πρὸς τὸν βασιλέα
Σαλωμων.
9 [1]Καὶ βασίλισσα Σαβα ἤκουσεν τὸ ὄνομα Σαλωμων καὶ ἦλθεν τοῦ
πειράσαι Σαλωμων ἐν αἰνίγμασιν εἰς Ιερουσαλημ ἐν δυνάμει βα-
ρείᾳ σφόδρα καὶ κάμηλοι αἴρουσαι ἀρώματα καὶ χρυσίον εἰς πλῆ-
θος καὶ λίθον τίμιον καὶ ἦλθεν πρὸς Σαλωμων καὶ ἐλάλησεν πρὸς
2 αὐτὸν πάντα, ὅσα ἐν τῇ ψυχῇ αὐτῆς. [2]καὶ ἀνήγγειλεν αὐτῇ Σαλω-
μων πάντας τοὺς λόγους αὐτῆς, καὶ οὐ παρῆλθεν λόγος ἀπὸ Σαλω-
3 μων, ὃν οὐκ ἀπήγγειλεν αὐτῇ. [3]καὶ εἶδεν βασίλισσα Σαβα τὴν
4 σοφίαν Σαλωμων καὶ τὸν οἶκον, ὃν ᾠκοδόμησεν, [4]καὶ τὰ βρώματα
τῶν τραπεζῶν καὶ καθέδραν παίδων αὐτοῦ καὶ στάσιν λειτουργῶν
αὐτοῦ καὶ ἱματισμὸν αὐτῶν καὶ οἰνοχόους αὐτοῦ καὶ στολισμὸν
αὐτῶν καὶ τὰ ὁλοκαυτώματα, ἃ ἀνέφερεν ἐν οἴκῳ κυρίου, καὶ ἐξ
5 ἑαυτῆς ἐγένετο. [5]καὶ εἶπεν πρὸς τὸν βασιλέα Ἀληθινὸς ὁ λόγος,
ὃν ἤκουσα ἐν τῇ γῇ μου περὶ τῶν λόγων σου καὶ περὶ τῆς σοφίας
6 σου, [6]καὶ οὐκ ἐπίστευσα τοῖς λόγοις, ἕως οὗ ἦλθον καὶ εἶδον οἱ
ὀφθαλμοί μου, καὶ ἰδοὺ οὐκ ἀπηγγέλη μοι ἥμισυ τοῦ πλήθους τῆς
7 σοφίας σου, προσέθηκας ἐπὶ τὴν ἀκοήν, ἣν ἤκουσα· [7]μακάριοι οἱ
ἄνδρες, μακάριοι οἱ παῖδές σου οὗτοι οἱ παρεστηκότες σοι διὰ
8 παντὸς καὶ ἀκούουσιν σοφίαν σου· [8]ἔστω κύριος ὁ θεός σου
ηὐλογημένος, ὃς ἠθέλησέν σοι τοῦ δοῦναί σε ἐπὶ θρόνον αὐτοῦ
εἰς βασιλέα τῷ κυρίῳ θεῷ σου· ἐν τῷ ἀγαπῆσαι κύριον τὸν θεόν
σου τὸν Ισραηλ τοῦ στῆσαι αὐτὸν εἰς αἰῶνα καὶ ἔδωκέν σε ἐπ'
9 αὐτοὺς εἰς βασιλέα τοῦ ποιῆσαι κρίμα καὶ δικαιοσύνην. [9]καὶ ἔδω-

14 επι] κατα A | αινειν .. λειτουργειν] tr. B | εντολη A || 16 ητοιμασεν A† | εθεμελ.] ετελ(ε)ιωθη A || 17 αιλαθ rau.] -λαμ BA | γη] τη A || 18 ωχετο B† | σωφηρα A | ελαβεν B | τετρακοσια] pr. τα B†

9 2 ον] pr. λογος B(†) || 4 αυτων 1°] -του Ar | οινοχοων B† | ανεφερον A† || 6 προσεθηκας] pr. και A† || 8 θρονου A | κυριω θεω] λαω A | αιωνα] pr. τον A | κριμα] κρισιν A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/876 UNIVERSITÄT LEIPZIG